**ἐπιωνικὸν ἀπ᾽ ἐλάσσονος δίμετρον ἀκατάληκτον**

**1.** × – ⏑ – ⏑ ⏑ – –

Tzetz. *de metr. Pind.* 92. 1 sqq.

ἔστιν ἐπιωνικόν δε τὸ ἑκκαιδέκατόν σοι
δίμετρον ἀκατάληκτον καὶ καθαρὸν τὸ μέτρον.
εἰσί γαρ τὰ ἰαμβικὰ ἀνοίκεια ἐν πρώτοις
τῷ μέτρῳ τῷ ἰωνικῷ. ἰδού δε καὶ ἡ θέσις.

| ἰαμβικά | ἰωνικόν |
|---|---|
| ⏒ – ⏓ – | ⏑ ⏑ – – |

Schol. vet. in Pind. *Ol.* 9 (p. 8. 16 Tessier) τὸ ιϛʹ ἐπιωνικὸν (*scil.* ἀπ᾽ ἐλάσσονος) καθαρὸν δίμετρον ἀκατάληκτον.

Schol. rec. in Pind. *Ol.* 9 (p. 311. 11 sq. Abel) τὸ ιϛʹ ἐπιωνικὸν (*scil.* ἀπ᾽ ἐλάσσονος) καθαρὸν δίμετρον ἀκατάληκτον, καθαρὰν ἰαμβικὴν ἔχον τὴν αʹ συζυγίαν.

Schol. vet. in Pind. *Nem.* 4 (p. 23. 9 sq. Tessier) τὸ δʹ ἐπιωνικὸν (*scil.* ἀπ᾽ ἐλάττονος) δίμετρον ἀκατάληκτον ... (17 sqq.) ἡ ἐπῳδὸς ὁμοίως κώλων ιγʹ ... τὸ δʹ ... ὁμοίως τῇ στροφῇ καὶ ἀντιστρόφῳ.

**2.** ⏑ ⏑ ⏑ – ⏑ ⏑ – –

Schol. rec. in Pind. *Pyth.* 7 (p. 172. 25 sq. Irigoin) τὸ εʹ ἐπιωνικὸν δίμετρον ἀκατάληκτον ἐκ παιῶνος τετάρτου καὶ ἰωνικοῦ ἀπ᾽ ἐλάττονος.

**3.** ⏑ – – – ⏑ ⏑ – –

Tzetz. *de metr. Pind.* 91. 17 sqq.

τὸ δὲ πεντεκαιδέκατον ἐπιωνικὸν ἔστι
καὶ ἀπ᾽ ἐλάσσονος ἐστὶ καὶ ἄτακτον καλεῖται·
τὴν πρώτην συζυγίαν γαρ ἐν ἀταξίᾳ ἔχει.
ἐπεί γαρ ἐπιωνικόν, ἰαμβικῇ ὀφείλει
συζυγίᾳ ἐνάρχεσθαι τῷ μέτρῳ ἀνοικείᾳ·
εἰ ἔστι γὰρ τροχαικὴ, ἰωνικὸν τὸ μέτρον·
οἰκεῖοι τῷ ἰωνικῷ εἰσί γαρ οἱ τροχαῖοι.
ὤφειλεν οὕτω γίνεσθαι, ἰαμβικὴν τὴν πρώτην
τυγχάνειν συζυγίαν σοι ἐν τουτῳὶ τῷ μέτρῳ·
ἐπεί δε τὸν σπονδεῖον γε ἐν τῇ δευτέρᾳ ἔχει,
ἀνάγκη ἄτακτον αὐτὸ γίνεσθαι καὶ καλεῖσθαι.

| ὤφειλεν ἰαμβική | ἰωνικόν |
|---|---|
| ⏑ – – – | ⏑ ⏑ – – |

Schol. vet. in Pind. *Ol.* 9 (p. 8. 15 Tessier) τὸ ιεʹ ἐπιωνικὸν (*scil.* ἀπ᾽ ἐλάσσονος δίμετρον ἀκατάληκτον) ἄτακτον, βʹ σπονδεῖον ἔχον.

Schol. rec. in Pind. *Ol.* 9 (p. 311. 8 sqq. Abel) τὸ ιεʹ ἐπιωνικὸν (*scil.* ἀπ᾽ ἐλάσσονος) δίμετρον ἀκατάληκτον· καλοῦσι δὲ (*scil. apud schol. vet., quod vide supra*) τοῦτο ἄτακτον διὰ τὸ μὴ ἔχειν τὴν αʹ συζυγίαν τροχαικὴν ἀλλὰ ἰαμβικὴν καὶ μὴ ἐν τῇ αʹ χώρᾳ τὸν σπονδεῖον ἀλλ᾽ ἐν τῇ βʹ.

**4.** ⏑ ⏑ – – × – ⏑ – (⏑ ⏑)

Schol. vet. in Pind. *Isthm.* 7 (p. 31. 23 sq. Tessier) τὸ η′ ἐπιωνικὸν (*scil.* ἀπ᾽ ἐλάσσονος) δίμετρον ἀκατάληκτον.

Schol. vet. in Pind. *Isthm.* 8 (p. 32. 11 Tessier) τὸ ιζ′ ἐπιωνικὸν (*scil.* ἀπ᾽ ἐλάσσονος) δίμετρον ἀκατάληκτον. [*P.S.*]